# LOS TRABAJOS DE HERACLES: 8º LAS YEGUAS DE DIOMEDES

Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς **Διομήδους** τοῦ **Θρᾳκὸς** ἵππους εἰς **Μυκήνας** κομίζειν· ἦν δὲ οὗτος **Ἄρεος** καὶ **Κυρήνης**, βασιλεὺς **Βιστόνων** ἔθνους Θρᾳκίου καὶ μαχιμωτάτου, εἶχε δὲ ἀνθρωποφάγους ἵππους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων καὶ βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν. Τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων τὰς μὲν ἵππους παρέδωκεν **Ἀβδήρῳ** φυλάσσειν· οὗτος δὲ ἦν **Ἑρμοῦ** παῖς, **Λοκρὸς** ἐξ **Ὀποῦντος**, **Ἡρακλέους** ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι· πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος καὶ Διομήδην ἀποκτείνας τοὺς λοιποὺς ἠνάγκασε φεύγειν, καὶ κτίσας πόλιν **Ἄβδηρα** παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου, τὰς ἵππους κομίσας **Εὐρυσθεῖ** ἔδωκε. **Μεθέντος** δὲ αὐτὰς Εὐρυσθέως, εἰς τὸ λεγόμενον ὄρος **Ὄλυμπον** ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

| | | |
|---|---|---|
| Διομῆδης, -ους | (ὁ) | Diomedes |
| Θρᾷξ, -ακός | (ὁ) | de Tracia, tracio |
| Μυκήνη, -ης | (ἡ) | Micenas |
| Ἄρης, -εος | (ὁ) | Ares |
| Κυρήνη, -ης | (ἡ) | Cirene |
| Βίστονες, -ων | (οἱ) | los bistones, pueblo de Tracia |
| Ἀβδῆρος, -ου | (ὁ) | Abdero, héroe de Abdera |
| Ἑρμῆς, -οῦ | (ὁ) | Hermes |
| Λοκρός, -ά, -όν | | locro, de Lócride (región) |
| Ὀποῦς, -οῦντος | (ὁ) | Opunte |
| Ἡρακλῆς, -έους | (ὁ) | Heracles |
| Ἄβδηρα, -ων | (τά) | Abdera, ciudad de Tracia |
| Εὐρυσθεύς, -έως | (ὁ) | Euristeo |
| μεθίημι | | dejar libre |
| Ὄλυμπος, -ου | (ὁ) | Olimpo |